Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: slg-aa

*Μενάνδρου καὶ Φιλιστίωνος Γνῶμαι* · Menander and Philistion Comparison

# Comparison of Menander and Philistion

*Σύγκρισις Μενάνδρου καὶ Φιλίστιωνος*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πεζός* Prose

**ΜΕΝΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΣΤΙΩΝΟΣ**

**ΓΝΩΜΑΙ ΚΑΙ ΔΙΑΛΕΚΤΟΙ**

3 ΜΕΝΑΝΔΡΟΣ Φιλιστίωνα τὸν καλόν τε κἀγαθὸν ἐγὼ Μένανδρος πολλὰ χαίρειν βούλομαι.

4 ΦΙΛΙΣΤΙΩΝ Κἀγὼ τάδ’ αὐτὰ βούλομαι Φιλιστίων προσεννέπειν, Μένανδρε, τὴν ἴσην χάριν.

5 ΜΕΝΑΝΔΡΟΣ Ἀπαρενόχλητος ὁ τόπος ἡμῖν τυγχάνει, καὶ τοῦ λέγειν ἄρξασθ’ ⟨ἐγὼ⟩ δὴ βούλομαι.

6 ΦΙΛΙΣΤΙΩΝ Ἕτοιμον εὑρήσεις με. καὶ γὰρ τῆς σχολῆς εὐκαιρία προτρέψεται λέγειν σοφῶς.

7 ΜΕΝΑΝΔΡΟΣ Ὁρᾷς ἐπὶ γῆς ἄνθρωπον † τεθνηκότα;

8 ΜΕΝΑΝΔΡΟΣ ἄμεινον ἡμᾶς μὴ γενέσθαι μηδ’ ὅλως.

9 ΦΙΛΙΣΤΙΩΝ Ἆρ’ οὗτος οὐ κατεῖδε τὸν ἑαυτοῦ χρόνον ἢ ⟨τὸν⟩ δι’ ἄστρων ἀριθμὸν οὐκ ἐγνώρισεν;

10 ΜΕΝΑΝΔΡΟΣ Εἰ γὰρ μαθὼν ἦν καὶ χρόνους ἠπίστατο, ἔδει τότ’ αὐτὸν θνητὸν ὄντα μὴ θανεῖν;

11 ΦΙΛΙΣΤΙΩΝ Ἐν δειλίᾳ γὰρ ζῶντες ἡμεῖς τοῦ βίου

12 ΦΙΛΙΣΤΙΩΝ ὄντως ⟨γὰρ⟩ {νῦν} ἡμῖν ⟨νῦν⟩ πλάνη παρίσταται.

13 ΜΕΝΑΝΔΡΟΣ Ὅταν θέλῃ τις τἀτρεκῆ προμανθάνειν, μάτην πλανᾶται τὸ σαφὲς † σοφῶς μαθεῖν.

14 ΦΙΛΙΣΤΙΩΝ Ἐὰν θελήσῃς βίον ἄλυπον ἐκτελεῖν,

15 ΦΙΛΙΣΤΙΩΝ μὴ προσδόκα τὸ μέλλον ἢ λυπῇ μάτην.

16 ΜΕΝΑΝΔΡΟΣ Ὅστις κάτοιδε τοῦ βίου τὴν ἔκβασιν, μαθὼν † ὀδυνᾶται προσδοκῶν καθ’ ἡμέραν.

17 ΜΕΝΑΝΔΡΟΣ Οὐδὲν πέφυκε κρεῖττον † τῆς εὐκαιρίας· καιροῦ γὰρ ἰσχύοντος οὐδὲ εἷς κριτής.

18 ΦΙΛΙΣΤΙΩΝ Ὅστις τὸν εὐτυχοῦντα βασκαίνειν θέλει, λυπεῖν ἑαυτὸν βούλετ’{αι} εἰς ὃν ζῇ χρόνον.

19 ΜΕΝΑΝΔΡΟΣ † Τὸ ἐξαίφνης ἀόρατον † ἀπροσδοκήτως ἐλθὸν ἰδίαν χάριν ἔχει.

20 ΦΙΛΙΣΤΙΩΝ Οὔτ’ εὐτυχεῖν δεῖ πάμπαν οὔτε δυστυχεῖν.

21 ΦΙΛΙΣΤΙΩΝ ῥοπαῖς δὲ καιρῶν καὶ μεταβολαῖς † πάντα ἀλλάσσεται.

22 ΜΕΝΑΝΔΡΟΣ Ἐκ τοῦ τυχεῖν ἄνθρωπον ἀβεβαίου βίου τύχην {εκ}καλοῦμεν ἣν ὅλως οὐκ οἴδαμεν.

23 ΦΙΛΙΣΤΙΩΝ Κἂν αἰτιᾷ, μέτρησον αὑτοῦ τὴν τύχην. ποῖον πέφυκε κέρδος ἐκ τούτου, φράσον.

24 ΜΕΝΑΝΔΡΟΣ Κακοὶ γὰρ εὐτυχοῦντες ἐκπλήττουσί με. ἀδίκως πονηροῖς † πλοῦτον δωρεῖται θεός.

25 ΦΙΛΙΣΤΙΩΝ Ὡς θνητὸς ὢν ἄνθρωπος † καὶ λιπὼν φάος,

26 ΦΙΛΙΣΤΙΩΝ χαλιναγωγεῖν δεῖ τὸν τεταγμένον χρόνον.

27 ΜΕΝΑΝΔΡΟΣ Πενίας 〈περ〉 οὐδέν ἐστιν ἀθλιώτερον.

28 ΜΕΝΑΝΔΡΟΣ ἄμεινόν ἐστιν ἀποθανεῖν ἢ δυστυχεῖν.

29 ΦΙΛΙΣΤΙΩΝ Ἄνθρωπον ὄντα πάντα προσδοκᾶν σε δεῖ. ὁ δ’ ἐκκακήσας ὤλεσε〈ν〉 τὰς ἐλπίδας.

30 ΜΕΝΑΝΔΡΟΣ Ἢ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει, ἵνα σὺ σεαυτὸν μόνος ἔχῃς συνίστορα.

31 ΦΙΛΙΣΤΙΩΝ Μυστήριόν σου μήποτ’ εἴπῃς τῷ φίλῳ, κοὐ μὴ φοβηθῇς αὐτὸν ἐχθρὸν γενόμενον.

32 ΜΕΝΑΝΔΡΟΣ Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ ἐκφάνῃς φίλου. † ἔλπιζε γὰρ αὐτὸν πάλιν γενέσθαι φίλον. †

33 ΦΙΛΙΣΤΙΩΝ Ὁ θυμὸς οὔτε ῥῶσιν οὔτε νοῦν ἔχει·

34 ΦΙΛΙΣΤΙΩΝ ὀργὴ δὲ δεινὰ δρᾶν ἀναγκάζει βροτούς.

35 ΜΕΝΑΝΔΡΟΣ Ὅστις γυναικὸς ἀποθανούσης ἐπιγαμεῖ, ὁ τοιοῦτος ὄντως οὐκ ἐπίστατ’ εὐτυχεῖν.

36 ΦΙΛΙΣΤΙΩΝ Ἅπαντας ἡμᾶς δεῖ φέρειν τὰς διαβολὰς ὑπὸ τοῦ λέγοντος, κἂν θέλῃς κἂν μὴ θέλῃς.

37 ΜΕΝΑΝΔΡΟΣ Πενίαν φέρειν οὐ παντός, ἀλλ’ ἀνδρὸς σοφοῦ. πολλοὶ γὰρ εὐτυχοῦντες οὐ φρονοῦσιν εὖ.

38 ΦΙΛΙΣΤΙΩΝ Ἀνὴρ ὁ πλουτῶν 〈εἰ〉 μέγα κομπάζων βιοῖ,

39 ΦΙΛΙΣΤΙΩΝ ἅπασι δ’ ἀνθρώποις ἔχει μῖσος μέγα.

40 ΜΕΝΑΝΔΡΟΣ Πολλῶν 〈μὲν〉 ὁ λόγος χρηστός, ὁ δὲ τρόπος κακός.

41 ΜΕΝΑΝΔΡΟΣ οὐ τῷ λόγῳ δὲ δεῖ † χρῆσθαι, ἀλλὰ τῷ τρόπῳ.

42 ΦΙΛΙΣΤΙΩΝ Πενία δ’ ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ. τῷ δυστυχοῦντι θάνατος αἱρετώτερος.

43 ΜΕΝΑΝΔΡΟΣ Δοκίμαζε πρῶτον τὸν τρόπον κοὐ τὸν λόγον. σεμνὸς τρόπος γὰρ διαφέρει καλῶν λόγων.

44 ΦΙΛΙΣΤΙΩΝ Εἰ χρήμασι〈ν〉 τὸν θάνατον ἐξωνούμεθα, τῶν πλουσίων 〈ἂν〉 ὁ κόσμος ὅλος ἐτύγχανε.

45 ΜΕΝΑΝΔΡΟΣ Ἅπασιν ἀνθρώποισ〈ιν〉 ἀπόκειται θανεῖν, ζωῆς γὰρ ἡμῖν ὀλίγος ἐμετρήθη χρόνος.

46 ΦΙΛΙΣΤΙΩΝ Μηδεὶς ἑαυτὸν μακάριον νομιζέτω,

47 ΦΙΛΙΣΤΙΩΝ πρὶν ἢ μάθῃ τὸ τέρμα τῆς εἱμαρμένης.

48 ΜΕΝΑΝΔΡΟΣ Ψευδηγόροις γελῶσι καὶ μύθοις κενοῖς, † θεραπεύεται τὰ κακὰ ταῖς συμβουλίαις. †

49 ΦΙΛΙΣΤΙΩΝ Τί τῷ θανόντι δῶρα λαμπρὰ προσφέρεις ἃ μεθ’ ἡδονῆς ἀφῆκε κοὐκ ἐχρήσατο.

50 ΜΕΝΑΝΔΡΟΣ Τί τὸν θανόντα κωφὸν ὠφελεῖς καλῶν; τὸν ζῶντα λυπεῖς, τῷ θανόντι δ’ οὐ μέλει.

51 ΦΙΛΙΣΤΙΩΝ Ὁ τάφος στεφανωθεὶς πλουσίως καὶ κοσμίως † τὸ ζῆν ἑαυτοῦ διὰ πλάνης κατηγορεῖ. †

Eulogikon public reading copy · View original HTML at eulogikon.org

52 ΜΕΝΑΝΔΡΟΣ Ἐν ἀδειλίᾳ γὰρ ζῶντες ὃν ζῶμεν χρόνον

53 ΜΕΝΑΝΔΡΟΣ φρόνιμοι δοκοῦμεν μηδὲ ἓν † καθιόντες.

54 ΦΙΛΙΣΤΙΩΝ Κούφως φέρειν δεῖ τὰς ἐνεστώσας τύχας. βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.

55 ΜΕΝΑΝΔΡΟΣ Ὁ καιρὸς ἀνθρώποισιν, οἷσπερ ἂν θέλῃ, ἐλθὼν δίδωσιν χρημάτων ἐξουσίαν.

56 ΦΙΛΙΣΤΙΩΝ Εἰ πᾶσιν ἡμῖν ἦν φρενῶν κοινωνία, καὶ χρημάτων ἦν καὶ φρενῶν κοινωνία.

57 ΜΕΝΑΝΔΡΟΣ Εἰ τὴν φρόνησιν πάντες εἶχον τὴν ἴσην, οὐδεὶς ἐγίγνετ' ἂν πενόμενος πώποτε.

58 ΦΙΛΙΣΤΙΩΝ Οὐδεὶς γενόμενος εὐθέως ἔστι〈ν〉 σοφός,

59 ΦΙΛΙΣΤΙΩΝ τύχη δὲ καὶ τὸν μὴ σοφὸν ποιεῖ σοφόν.

60 ΜΕΝΑΝΔΡΟΣ Ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη, οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης.

61 ΦΙΛΙΣΤΙΩΝ Οὐδὲν μετατιθεῖ τῶν πεπρωμένων τύχη, ἃ γὰρ πέπρωται ταῦθ' ὅλως οὐ μετατιθεῖ.

62 ΜΕΝΑΝΔΡΟΣ Ἃ δεῖ παθεῖν σε μηδαμοῦ σκέψῃ φυγεῖν, οὐ γὰρ δυνήσῃ διαφυγεῖν ὅ σε δεῖ παθεῖν.

63 ΦΙΛΙΣΤΙΩΝ Τὸν δοῦλον οὕτως ἔχε λαβὼν ὡσ〈

64 ΦΙΛΙΣΤΙΩΝ 〉τύχην.

65 ΜΕΝΑΝΔΡΟΣ Δούλους ποιοῦσι † πάντας τοὺς ἐλευθέρους γάμοι, τεκνώσεις, ἡδοναί, φόβοι, νόμοι.

66 ΦΙΛΙΣΤΙΩΝ Ἐλευθέρους ἅπαντας ἡ φύσις ποιεῖ,

67 ΦΙΛΙΣΤΙΩΝ δούλους δὲ μετεποίησεν ἡ πλεονεξία.

68 ΜΕΝΑΝΔΡΟΣ Δούλευε, δοῦλε, μᾶλλον ἐκ προθυμίας· βάρος γὰρ ἕξεις 〈μᾶλλον〉 ἐκ κελεύσεως.

69 ΦΙΛΙΣΤΙΩΝ Ἢ φιλόσοφον δεῖ τὸν πένητα τυγχάνειν

70 ΦΙΛΙΣΤΙΩΝ ἢ δοῦλον εἶναι πᾶσιν ὧν χρείαν ἔχει.

71 ΜΕΝΑΝΔΡΟΣ Ἐκ δουλ{ε}ίας εἰ δεσπότην τύχοις ἔχων, † ψεύσῃ μηδέποτ'· οἶδε γάρ σου τὰ ψεύσματα. †

72 ΦΙΛΙΣΤΙΩΝ Δούλῳ γενομένῳ, δοῦλε, δουλεύειν φοβοῦ. ἀμνημονεῖ γὰρ ταῦρος ἀργήσας ζυγοῦ.

73 ΜΕΝΑΝΔΡΟΣ Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ. φύλασσε σαυτὸν ἐγκρατῶς ἐλεύθερον.

74 ΦΙΛΙΣΤΙΩΝ Ἡ γῆ τόκους δίδωσι μὴ λυπουμένη· ἀπὸ γῆς ἔφυ τὰ πάντα κεἰς γῆν οἴχεται.

75 ΜΕΝΑΝΔΡΟΣ Ἐὰν δανείσῃ καὶ μακρῷ χρόνῳ κρατῇς,

76 ΜΕΝΑΝΔΡΟΣ ἅπαξ λαβὼν τὸ χρῆμα δώσεις πολλάκις.

77 ΦΙΛΙΣΤΙΩΝ Βλέπε τὸν δανειστὴν ὡς θάλασσαν ἢ βυθόν· ἂν γὰρ βραδύνῃς, λαμβάνεις τρικυμίαν.

78 ΜΕΝΑΝΔΡΟΣ Ὡς τὰς γυναῖκας τοκετὸς ὀλολύξαι ποιεῖ, καὶ τοὺς πένητας ὁ τόκος ὀλολύξαι ποιεῖ.

79 ΦΙΛΙΣΤΙΩΝ Ἄμεινόν ἐστι καταλιπεῖν ἄλγος τισίν † ἢ μηδὲν ἔχοντα .... †

80 ΜΕΝΑΝΔΡΟΣ Πράξας κακῶς τι κἂν δοκῇς θεὸν λαθεῖν, πίστευσον ὅτι σ〈ε〉 αυτὸν οὐ δύνῃ λαθεῖν.

81 ΦΙΛΙΣΤΙΩΝ Ἐὰν φονεύῃς λα〈ν〉θ〈άν〉ων, εὔχου θεῷ.

82 ΦΙΛΙΣΤΙΩΝ ὃ λανθάνεις ἄνθρωπον, ὁμολόγει θεῷ.

83

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΜΕΝΑΝΔΡΟΣ Ἔστι〈ν〉 Δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ’ ὁρᾷ. † καὶ πρὸς ὃ ποιεῖ τις, οὕτως καὶ κομίζεται. †

84 ΦΙΛΙΣΤΙΩΝ Ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν. κρεῖττον σιωπᾶν ἢ λαλεῖν ἃ μὴ θέμις.

85 ΜΕΝΑΝΔΡΟΣ † Ἄκουε πάντα μανθάνειν καὶ μὴ λαλεῖν· † πολλὴν γὰρ ἀβλάβειαν ἡ σιγὴ φέρει.

86 ΦΙΛΙΣΤΙΩΝ † Εὖ ἔχειν σπούδαζε μὴ τῷ σχήματι· τὸ σῶμα μᾶλλον κόσμει ἢ τὸ φρόνημα. † τὸ σχῆμα γὰρ κρίνουσιν οὐχὶ τὸν λόγον.

87 ΜΕΝΑΝΔΡΟΣ Εὐκαταφρόνητός ἐστι{ν} πανταχοῦ πένης. 〈ὁ〉 πονηρὰ ποιῶν εὐθέως οὐκ αἴσθ{αν}εται.

88 ΦΙΛΙΣΤΙΩΝ 〈Ὁ〉 δυσσεβῶν τι{ς} καὶ δοκῶν λαθεῖν θεὸν κολάζεθ’ οὗτος ὑπὸ συνειδότος θεοῦ.

89 ΜΕΝΑΝΔΡΟΣ Ὁ μὴ κολασθεὶς τῷ νόμῳ πράξας κακῶς,

90 ΜΕΝΑΝΔΡΟΣ αὐτὸς ὑφ’ ἑαυτοῦ τῷ φόβῳ κολάζεται.

91 ΦΙΛΙΣΤΙΩΝ Ὁ μὴ μαθητὴς τοῦ διδάσκοντος λόγου, οὗτος μαθητὴς τοῦ κολάζοντος νόμου.

92 ΜΕΝΑΝΔΡΟΣ Μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε· πρὸ τοῦ παθεῖν σε τῷ φόβῳ προλαμβάνου.

93 ΦΙΛΙΣΤΙΩΝ Ὥσπερ λέγουσι πάντες οἱ σοφώτατοι,

94 ΦΙΛΙΣΤΙΩΝ οὐδεὶς ποιῶν πονηρὰ λανθάνει Δίκην.

95 ΜΕΝΑΝΔΡΟΣ Πράσσων καλῶς μέμνησο τῆς δυσπραξίας, ὡς γὰρ τὸ πράσσειν καὶ τὸ μὴ πράσσειν σκόπει.

96 ΦΙΛΙΣΤΙΩΝ Ἐὰν θελήσῃς χρημάτων σωροὺς ἔχειν,

97 ΦΙΛΙΣΤΙΩΝ σωροὺς ἔχειν δεῖ καὶ καλῶν φρονημάτων.

98 ΜΕΝΑΝΔΡΟΣ † Ἔστι πρῶτον τῶν καλῶν δικαιοκρισία· † ὅρα τὸ κέρδος μὴ τέκῃ σοι ζημίαν.

99 ΦΙΛΙΣΤΙΩΝ Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν. οὐκ ἔστιν οὐδὲν χεῖρον αἰσχροκερδίας.

100 ΜΕΝΑΝΔΡΟΣ Ὅταν πονηροῦ πράγματος κέρδος λάβῃς, τοῦ δυστυχεῖν νόμιζε ς’ ἀρραβῶν’ ἔχειν.

101 ΦΙΛΙΣΤΙΩΝ Πρόκρινε κέρδο〈υ〉ς τοῦ πονηροῦ ζημίαν·

102 ΦΙΛΙΣΤΙΩΝ 〈λυπεῖ γὰρ ἡμῖν ζημία βραχὺν χρόνον,〉

103 ΦΙΛΙΣΤΙΩΝ κακὸν δὲ κέρδος ὅλον ἀναιρεῖ 〈τὸν〉 βίον.

104 ΜΕΝΑΝΔΡΟΣ Τοῖς μὲν καλῶς πράττουσι προστατεῖ θεός,

105 ΜΕΝΑΝΔΡΟΣ χαίρει δ’ ὁρῶν πάσχοντας † τοὺς ἀναξίους.

106 ΦΙΛΙΣΤΙΩΝ Τὸ συνειδὸς ἡμῶν ἔνδον ἐγκεκρυμμένον ἐπὶ τῷ μετώπῳ τὴν ἀλήθειαν φέρει.

107 ΜΕΝΑΝΔΡΟΣ Μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής· ἑνὸς γὰρ αὐτῶν εὐθέως ἐχθρὸς γίνῃ.

108 ΦΙΛΙΣΤΙΩΝ Κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ.

109 ΦΙΛΙΣΤΙΩΝ ἐν ἀπορίαις γὰρ οὐδὲ εἷς ἔσται φίλος.

110 ΜΕΝΑΝΔΡΟΣ Ὁ 〈τῷ〉 φίλῳ πεσόντι {συμ}παραμένων φίλος ἀδελφὸς οὗτος καὶ φίλος καὶ συγγενής.

111 ΦΙΛΙΣΤΙΩΝ Δοκιμάζεται πᾶς οὐ πεπλασμένος φίλος

112 ΦΙΛΙΣΤΙΩΝ φιλίαν φίλου στέργοντος, {καὶ} οὐ τὰ χρήματα.

113 ΜΕΝΑΝΔΡΟΣ Πένητα ὁ συλῶν οὔ † τινα ἔχων ἀπέρχεται † πολλὰ καταλείψας δάκρυα καὶ στενάγματα.

114 ΦΙΛΙΣΤΙΩΝ Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς· φίλος με λυπῶν οὐδὲν ἐχθροῦ διαφέρει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

115 ΜΕΝΑΝΔΡΟΣ Ὅταν φίλος σου κατὰ φίλου μέλλῃ λέγειν, μὴ τῷ λόγῳ πίστευε, ἀλλ’ αὐτὸν σκόπει. ὁ γὰρ προχείρως πρὸς σὲ διαβάλλων φίλον ταὐτὸν ποιήσει καὶ κατὰ σοῦ πρὸς ⟨τὸν⟩ φίλον.

116 ΦΙΛΙΣΤΙΩΝ Ὅταν μάλιστα ζῆν ἀκινδύνως θέλῃς,

117 ΦΙΛΙΣΤΙΩΝ † ἐχθροὺς ἀπίστει τοὺς λέγοντας ἐν δόλῳ. †

118 ΜΕΝΑΝΔΡΟΣ Εὐχαὶ γὰρ ἐχθρῶν εἰσιν αἱ φίλων μάχαι. χαίρουσι γὰρ βλέποντες ⟨εἰσ⟩ ἀψιμαχίας.

119 ΦΙΛΙΣΤΙΩΝ Οὔθ’ οἱ φίλοι μένουσιν ἐν βίῳ φίλοι, οὔθ’ αἱ γυναῖκες διαμένουσι σώφρονες.

120 ΜΕΝΑΝΔΡΟΣ Τίς δ’ οὐχὶ θνητῶν ἐστι γινώσκων τάδε, ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ;

121 ΦΙΛΙΣΤΙΩΝ Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί, αὐτοὶ δ’ ἁμαρτάνοντες οὐ γινώσκομεν.

122 ΜΕΝΑΝΔΡΟΣ Ἀδύνατόν ἐστι καταμαθεῖν παντὸς νόον

123 ΜΕΝΑΝΔΡΟΣ φέροντα κρυπτὴν ἔνδοθεν πονηρίαν.

124 ΦΙΛΙΣΤΙΩΝ Κρεῖττον σιωπᾶν ἐστιν ἢ μάτην λαλεῖν. πολλὴν γὰρ ἀβλάβειαν ἡ σιγὴ φέρει.

125 ΜΕΝΑΝΔΡΟΣ Φέρ’ ἐγκρατῶς ἔνδειαν ὡς εἰδὼς ὅτι † ἀπόντος ἔργου τὸ ἐγκρατεύεσθαί σε δεῖ. †

126 ΦΙΛΙΣΤΙΩΝ Μισῶ πένητα πλουσίῳ δωρούμενον· ἢ μωρός ἐστιν ἢ πλανᾶσθαι βούλεται.

127 ΜΕΝΑΝΔΡΟΣ Αἰσχύνομαι πλουτοῦντι δωρεῖσθαι φίλῳ, μή μ’ ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτεῖν δοκῶ.

128 ΦΙΛΙΣΤΙΩΝ Ὅταν φίλον σου δοκιμάσαι θέλῃς ποτέ,

129 ΦΙΛΙΣΤΙΩΝ μυστήριόν σου ψευδὲς ⟨αὐτῷ⟩ προσανάθου.

130 ΜΕΝΑΝΔΡΟΣ Πένης ὑπάρχων ἂν γένῃ ποτὲ πλούσιος, μέμνης’ ἐκείνης τῆς τύχης, ὅτ’ ἦς πένης.

131 ΦΙΛΙΣΤΙΩΝ Ἂν δυστυχῇς, ἄνθρωπε, μὴ λυποῦ μέγα. τῆς γὰρ τύχης τὸ μέλλον οὐκ ἐπίστασαι.

132 ΜΕΝΑΝΔΡΟΣ Γνώμην πονηρὰν εὐκόλως τρέφει γυνή. ὁ τρόπος γὰρ αὐτῆς † ἐγγυμνάζεται † κακοῖς.

133 ΦΙΛΙΣΤΙΩΝ Πιθανὴν γυναῖκα ⟨δ’⟩ ὁ τρόπος εὔμορφον ποιεῖ. πολὺ γὰρ διαφέρει σεμνότης εὐμορφίας.

134 ΜΕΝΑΝΔΡΟΣ Γυναῖκα † ὁ διδάσκων γράμματα γινωσκέτω

135 ΜΕΝΑΝΔΡΟΣ ὅτι ἀσπίδι προσπορίζει φάρμακα. †

136 ΦΙΛΙΣΤΙΩΝ Γένος τὸ θηρῶν ἡμεροῦτ’ ὀλίγον ⟨ποτέ⟩ , ὁ δὲ τῆς γυναικὸς τρόπος οὐκ ἀλλάσσεταί ποτε.

137 ΜΕΝΑΝΔΡΟΣ Μηδέποτε πειρῶ σκαμβὸν ὀρθῶσαι κλάδον· ἐκεῖ νένευκεν οὗ φύσις βιάζεται.

138 ΦΙΛΙΣΤΙΩΝ Ἐὰν γυνὴ γυναικὶ κατ’ ἰδίαν λαλῇ, μεγάλων κακῶν θησαυρὸς ἐξορύττεται.

139 ΜΕΝΑΝΔΡΟΣ Γνώμην μεγίστην τῷ φιλοῦντι μὴ λέγε· γνώμῃ γὰρ ἰδίᾳ τὸ κακὸν ἡδέως ποιεῖ.

140 ΦΙΛΙΣΤΙΩΝ Κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς,

141 ΦΙΛΙΣΤΙΩΝ ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.

142 ΜΕΝΑΝΔΡΟΣ Κἂν μυρίων γῆς κύριος πηχῶν ἔσῃ, θανὼν γενήσῃ τάχα μόλις πηχῶν τριῶν.

143 ΦΙΛΙΣΤΙΩΝ Ὁ πλέων τὸ πέλαγος ἠγριωμένον ⟨μιᾶσ⟩ ἀπὸ πήχεώς {μιᾶς} γε τῷ θανάτῳ παρίσταται.

144 ΜΕΝΑΝΔΡΟΣ Ἐὰν πένητα γυμνὸν ἐνδύσῃς ποτέ, οὐδὲν ἐποίησας, ἂν λόγοις ὀνειδίσῃς.

145 ΦΙΛΙΣΤΙΩΝ Καλῶς ποιήσας καὶ κακῶς ὀνειδίσας ἀψινθίῳ ⟨’π⟩ έμιξας Ἀττικὸν μέλι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

146 ΜΕΝΑΝΔΡΟΣ † Ἐχθρὸς παρ’ ἐχθροῦ λαβάνων (sic) ἐπεπτώκει. †

147 ΦΙΛΙΣΤΙΩΝ Ἀνὴρ ὁπόταν γυναῖκα καταβλάψαι θέλῃ, θησαυρὸν ἐχέτω 〈πλούσιον〉 φρονημάτων.

148 ΜΕΝΑΝΔΡΟΣ Χρυσὸς δόλος πέφυκε καὶ γυνὴ δόλος. ἀμφότερα ταῦτα 〈τοὺσ〉 φίλους ἐχθροὺς ποιεῖ.

149 ΦΙΛΙΣΤΙΩΝ Προπετοῦς 〈παρ’〉 ἀνδρὸς μὴ φοβοῦ λάβρον στόμα·

150 ΦΙΛΙΣΤΙΩΝ ὁ γὰρ σιωπῶν ἔνδον ἐγκρύπτει δόλον.

151 ΜΕΝΑΝΔΡΟΣ Γέρων γενόμενος μὴ γάμει νεωτέραν· ἄλλον γὰρ ἕξει· παιδαγωγήσῃ δὲ σύ·

152 ΦΙΛΙΣΤΙΩΝ Οὐκ ἔστιν εὑρεῖν τὴν τροφὴν ἄνευ κόπου. κάμνουσι πάντες τῆς ζόης ταύτης χάριν.

153 ΜΕΝΑΝΔΡΟΣ Οἱ τῶν πενήτων ἐργατῶν ἀεὶ κόποι· εἰς τὰς τροφὰς χωροῦσι τὰς τῶν πλουσίων.

154 ΦΙΛΙΣΤΙΩΝ Ὁ πλούσιος πένητας οὐκ ἀσπάζεται· ἀλλὰ παραπέμπει μηδὲν ἠδικηκότας.

155 ΜΕΝΑΝΔΡΟΣ Ὁ φίλου βεβαίου θυμὸν ἐγκρατῶς φέρων

156 ΜΕΝΑΝΔΡΟΣ οὗτος πέφυκε μέχρι τέλους τούτου φίλος.

157 ΦΙΛΙΣΤΙΩΝ Μακάριος, ὅστις ἔτυχε γενναίου φίλου· φιλίας γὰρ οὐδέν ἐστι τιμιώτερον.

158 ΜΕΝΑΝΔΡΟΣ Γαμῶν γυναῖκα κλαῖε καὶ θάπτων γέλα· γυναῖκας οἱ θάπτοντες εὐτυχοῦσι γάρ.

159 ΦΙΛΙΣΤΙΩΝ Καλὸν τὸ θνῄσκειν, οἷς ὕβριν τὸ ζῆν φέρει· † ζῇ γὰρ πονηρῶς καὶ τὸ φῶς βλέπει σκότος. †

160 ΜΕΝΑΝΔΡΟΣ Ἄνθρωπον ὄντα πάντα προσδοκᾶν σε δεῖ.

161 ΜΕΝΑΝΔΡΟΣ ἀλλάσσεται γὰρ πάντα κοὐδὲν παραμένει.

162 ΦΙΛΙΣΤΙΩΝ Μηδέποτε σαυτὸν δυστυχῶν ἀπελπίσῃς·

163 ΦΙΛΙΣΤΙΩΝ καιρῶν γάρ εἰσι μεταβολαὶ καὶ 〈τῆσ〉 τύχης.

164 ΜΕΝΑΝΔΡΟΣ Ἂν εὐτυχῇς, ἄνθρωπε, μὴ φρόνει μέγα· πάλιν γὰρ ὄψει τῆς τύχης μετατροπήν.

165 ΦΙΛΙΣΤΙΩΝ Ὅτ’ εὐτυχεῖς, μέμνησο τῆς προτέρας τύχης. μὴ λέγε τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ.

166 ΦΙΛΙΣΤΙΩΝ πρὸς τὴν παροῦσαν 〈πάντοθ’〉 ἁρμόζου τύχην.

167 ΜΕΝΑΝΔΡΟΣ Ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν πεσεῖν δεδοικὼς βούλεται πάλιν πεσεῖν.

168 ΦΙΛΙΣΤΙΩΝ † Τὸν δοῦλον ὦ τᾶν προσλαβὼν ὃν ὠνήσω † † τύχην ἔχοντα δούλην, γνώμην δ’ ἐλευθέραν. †

169 ΜΕΝΑΝΔΡΟΣ † Ἐλευθέρους δούλευε † κοὐχ ἕξεις δούλους· δυσὶ δούλευε καὶ νόμοις καὶ δεσπόταις. †

170 ΦΙΛΙΣΤΙΩΝ Δούλευε, δοῦλε, μᾶλλον ἐκ βουλήσεως· βάρος γὰρ ἕξεις μᾶλλον ἐκ κελεύσεως.

171 ΜΕΝΑΝΔΡΟΣ Μίαν πρόνοιαν τῶν ἄνω καὶ τῶν κάτω

172 ΜΕΝΑΝΔΡΟΣ θεὸν νόμιζε καὶ σέβου παντὶ σθένει· ὡς ὄντα τοῦτον καὶ παρόντ’ ἀεὶ σέβου, καὶ μήτ’ ἐρώτα μήτε μανθάνειν θέλε· οὐ γὰρ θέλω σε μανθάνειν, τί δὴ θεός.

173 ΦΙΛΙΣΤΙΩΝ Πόντου, γυναικός, 〈καύματοσ〉, πυρός, θηρὸς

174 ΦΙΛΙΣΤΙΩΝ χειρότερός ἐστιν ὁ προδότης 〈ὁ〉 τῶν φίλων.

175 ΜΕΝΑΝΔΡΟΣ Πενία καθ’ αὑτήν 〈ἐστιν〉 ἰσχυρὰ νόσος· ἔρωτα {δὲ} προσλαβοῦσα δύο νόσους νοσεῖ.

176 ΦΙΛΙΣΤΙΩΝ Δεινὸν πενία· † κακὸν δυστυχία· σοφοῦ δὲ † ἀνδρὸς πάντα γενναίως φέρειν.

177

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΜΕΝΑΝΔΡΟΣ Ὅσον διαφέρει τοῦ θανεῖν τὸ ζῆν καλῶς, τοσοῦθ' ὁ θάνατος διαφέρει τοῦ ζῆν κακῶς.

178 ΦΙΛΙΣΤΙΩΝ Ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν αἰτοῦ παρὰ θεῶ〈ν〉, ἀλλὰ τὴν μακροθυμίαν.

179 ΜΕΝΑΝΔΡΟΣ Ὅταν δ' ἄλυπος διὰ τέλους εἶναι θέλῃς,

180 ΜΕΝΑΝΔΡΟΣ † ἢ θεὸν εἶναί σε δεῖ, ἢ νεκρόν. †

181 ΦΙΛΙΣΤΙΩΝ Πρόσεστιν α〈ἰ〉εὶ τῷ πένητ' ἀπιστία· κἂν σοφὸς ὑπάρχῃ, κἂν λέγῃ τὸ συμφέρον.

182 ΜΕΝΑΝΔΡΟΣ † Οὐδέποτε πένης ἐπὶ δίκαιος δίκαιος εὑρέθη. † ἀεὶ δ' ὁ πλοῦτος τὴν πενίαν καταισχυνεῖ.

183 ΦΙΛΙΣΤΙΩΝ Μισῶ πένητα πλουσίῳ δωρούμενον· αὐτὸς γὰρ αὑτοῦ τὸν βίον λυμαίνεται.

184 ΜΕΝΑΝΔΡΟΣ Μισῶ πένητα πλουσίῳ δωρούμενον· ἔλεγχός ἐστι τῆς ἀχορτάστου τύχης.

185 ΦΙΛΙΣΤΙΩΝ Ὅταν 〈δ'〉 ἴδῃς εἰς ὕψος ἠρμένον τινά,

186 ΦΙΛΙΣΤΙΩΝ κακῶς τε πλούτῳ καὶ τύχῃ γαυρούμενον, τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα· ἐπαίρεταί {γὰρ} τις μεῖζον, ἵνα μεῖζον{ως} πέσῃ.

187 ΜΕΝΑΝΔΡΟΣ Ἕως μὲν καθῆσο τὰς ὀφρῦς ἀνεσπακώς, † ᾤμην σε τῶν σοφῶν σοφόν τινα· †

188 ΜΕΝΑΝΔΡΟΣ ὅ〈πο〉τε δ' ἐγερθεὶς εἰς λόγους ἐλήλυθας, ἐφάνης χελώνης δέρμ' ἔχων, φρένας δ' ὄνου. ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

189 ΦΙΛΙΣΤΙΩΝ Ὁ περιφέρων μοι τὴν λεοντείαν δορὰν πήραν τε καὶ πώγωνα καὶ βάκτρον μέγα

190 ΦΙΛΙΣΤΙΩΝ σιγῶν δοκεῖς μοι φρόνιμος εἶναι καὶ σοφός. τύπους γὰρ ὡς ἔοικε τῶν σοφῶν ἔχεις ὄνος πεφυκώς περ καὶ † σάγμ' ἔχων μέγα. λάλησον, ἵνα μάθωμεν ὡς ἄνθρωπος εἶ. εἰ δ' ἔτι σιωπᾶς, γέγονας ἀνθρώπου σκιά.

191 ΦΙΛΙΣΤΙΩΝ ἔνιοι γὰρ ὡς δοκοῦντες εὖ φρονεῖν μάλα πώγωνα περιφέρουσιν ἐξησκημένον † φορτίον ἄχρηστον κοὐ χρήσιμον. † εἰ γάρ τιν' εἶχον δύναμιν αἱ πολλαὶ τρίχες,

192 ΦΙΛΙΣΤΙΩΝ οὐκ ἄν ποθ' ὁ λύκος τὸν τράγον κατήσθιε.

## ΜΕΝΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΣΤΙΩΝΟΣ

## ΣΥΓΚΡΙΣΙΣ

195 ΜΕΝΑΝΔΡΟΣ Ὁ πᾶσιν ἀρέσας ἐν σοφοῖς ποιήμασιν, ὁ τοῦ βίου τὴν πρᾶξιν ἐπιδείξας σοφοῖς, Μένανδρος ὁ σοφὸς νῦν πάλιν παραινέσω, χαίρειν προ{σ}τάξας τοῖς ἀκούουσιν νέοις,

196 ΜΕΝΑΝΔΡΟΣ ὅπως ἕκαστος † ἀκούων μου μανθάνῃ τὴν τοῦ βίου † εὐθεῖαν, ἣν ὑμῖν φράσω, παρηγορῶν ἕκαστον ἐς τὸ συμφέρον, ἔχων ἀγῶνα πρὸς Φιλιστίωνα νῦν, τὸν τερπνὸν καὶ φιλητὸν καὶ βιωφελῆ,

197 ΜΕΝΑΝΔΡΟΣ ἐκ τῶν κατὰ μέρος ἐκλεγέντων πραγμάτων. Ἀρξόμεθα λοιπὸν περὶ τύχης 〈λέγειν〉 σοφῶς.

### Μένανδρος. περὶ τύχης.

199 Ὅταν τις ἡμῶν † ἀμέριμνον † ἔχῃ τὸν βίον, οὐκ ἐπικαλεῖται τὴν τύχην εὐδαιμονῶν· ὅταν δὲ λύπαις περιπέσῃ καὶ πράγμασιν,

200 εὐθὺς προσάπτει τῇ τύχῃ τὴν αἰτίαν.

201 ΦΙΛΙΣΤΙΩΝ Μηδέποτε μέμφου τὴν τύχην εἰδὼς ὅτι καιρῷ πονηρῷ καὶ τὰ θεῖα δυστυχεῖ.

202 ΦΙΛΙΣΤΙΩΝ ............................. | μή

203

ΦΙΛΙΣΤΙΩΝ λύπει σεαυτὸν τοῦτο γιγνώσκων ὅτι, ὅταν ποτ’ ἀνθρώποισιν ἡ τύχη γελᾷ,

204 ΦΙΛΙΣΤΙΩΝ πάντων ἀφορμὴ τῶν καλῶν εὑρίσκεται· ὅταν δὲ δυστυχῇ τις, οὐδ’ εὐφραίνεται. ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη.

### περὶ πενίας.

206 Πένης λέγων τἀληθὲς οὐ πιστεύεται. πένητος οὐδέν ἐστι δυστυχέστερον·

207 ἅπαντα μοχθεῖ κἀγρυπνεῖ κἀργάζεται, ἵν’ ἄλλος ἐλθὼν μεταλάβῃ κεκτημένος· τῶν γὰρ πενήτων ἐργατῶν ἀεὶ πόν〈οι〉 〈εἰσ〉 τὰς τροφὰς χωροῦσι τὰ〈σ〉 τῶν πλουσίων.

208 ΦΙΛΙΣΤΙΩΝ Πρόσεστιν αἰεὶ τῷ πένητ’ ἀπιστία·

209 ΦΙΛΙΣΤΙΩΝ κἂν σοφὸς ὑπάρχῃ, κἂν λέγῃ τὸ συμφέρον, δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν κακῶς. τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος· ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ, δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν σαφές.

### περὶ γήρους.

211 Ὦ γῆρας ἐχθρὸν σωμάτων ἀνθρωπίνων, ἅπαντα συλῶν 〈τὰ〉 καλὰ τῆς εὐμορφίας καὶ μεταχαράσσον τὴν μὲν ἀνδρίαν μελῶν εἰς 〈τ〉ἀπρεπές, τὸ δὲ τάχος εἰς ὄκνον πολύν, [ὁ νοῦς· ὅτι οὐκ ἔνεστιν δύναμις τοῦ σώματος·]

212 φεύγει δὲ πάντα καὶ τὸ λαμπρὸν ὀμμάτων.

213 ΦΙΛΙΣΤΙΩΝ Ἐὰν γένηται πλούσιος γεγὼς γέρων, καλὸν τὸ γῆράς ἐστιν ἐπὶ τούτῳ μόνον· † ἔχει γὰρ χειραγωγὸν τὸν πλοῦτον ὁ γέρων. † ἐπὰν ἴδῃς γέροντα 〈πενιχρὸν〉 καὶ μόνον,

214 ΦΙΛΙΣΤΙΩΝ μηδὲν ἐπερώτα· πάντα γὰρ κακῶς ἔχει. καλὸν τὸ θνήσκειν ἔστιν † ἐπὶ τούτῳ λέγειν. μὴ νουθέτει γέρονθ’ ἁμαρτάνοντά τι· δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον.

### περὶ πλούτου.

216 Αἰσχύνομαι πλουτοῦντι δωρεῖσθαι φίλῳ,

217 μή μ’ ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτεῖν δοκῶ. μισῶ πένητα πλουσίῳ δωρούμενον· ἔλεγχός ἐστι τῆς ἀχορτάστου τύχης.

218 μὴ τὴν ὀφρὺν ἔπαιρε 〈–×–⏑–〉. μὴ οὐ † χρυσὸς † περίσημος ᾖ, ἀλλὰ † πηλὸς ᾖ.

219 κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς, ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω. κἂν μυρίων γῆς κύριος πηχῶν ἔσῃ, θανὼν γενήσῃ τάχα τριῶν ἢ τεσσάρων.

220 ΦΙΛΙΣΤΙΩΝ Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,

221 ΦΙΛΙΣΤΙΩΝ φθόνον τ’ ἐπήρειάν τε καὶ μῖσος πολύ, πράγματά τε πολλὰ κἀνοχλήσεις μυρίας, πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου. ἔπειτα μετὰ ταῦτ’ εὐθὺς εὑρέθη θανών, ἄλλοις καταλιπὼν εἰς τρυφὴν τὴν οὐσίαν.

222 ΦΙΛΙΣΤΙΩΝ ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω

223 ΦΙΛΙΣΤΙΩΝ ἔχειν τε μέτρια κἀμέριμνον ζῆν βίον,

224 ΦΙΛΙΣΤΙΩΝ καὶ μήτ’ ἔχειν πλοῦτόν με μήτε πράγματα· πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.

### περὶ θεῶν.

226 Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας.

227 ἐγὼ δ’ ὑπέλαβον χρησίμους εἶναι θεοὺς τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον 〈μόνουσ〉.

228

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν, εὖξαι τί βούλει, πάντα σοι γενήσεται, ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα,

229 φίλοι, δικασταί, μάρτυρες. μόνον δίδου· αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

230 ΦΙΛΙΣΤΙΩΝ Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή· πλεῖον γὰρ οὐδὲν ἄλλο τοῦ ζητεῖν ἔχεις. εἴτ’ ἔστιν εἴτ’ οὐκ ἔστι, μὴ βούλου μαθεῖν.

231 ΦΙΛΙΣΤΙΩΝ ὡς ὄντα τοῦτον καὶ παρόντ’ ἀεὶ σέβου. τίς ἐστιν, ὁ θεὸς οὐ θέλει σε μανθάνειν· ἀσεβεῖς τὸν οὐ θέλοντα μανθάνειν θέλων.

### περὶ φίλου.

233 Χρυσὸς μὲν οἶδεν ἐξελέγχεσθαι πυρί, ἡ δ’ ἐν φίλοις εὔνοια καιρῷ κρίνεται.

234 καιρῷ τὸν εὐτυχοῦντα κολακεύων φίλος καιροῦ φίλος πέφυκεν, οὐχὶ τοῦ φίλου. ἀπόντι μᾶλλον εὐχαριστίαν ποίει· τῷ γὰρ παρόντι γίνετ’ εὐτονώτερον. μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ.

235 φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις.

236 ΦΙΛΙΣΤΙΩΝ Ἅπαν διδόμενον δῶρον, ἂν καὶ μικρὸν ᾖ, μέγιστόν ἐστιν, 〈ἂν〉 μετ’ εὐνοίας δοθῇ. κρίσει δικαίᾳ καὶ δίδου καὶ λάμβανε, ἐπεὶ βλαβήσῃ καὶ διδῶν καὶ λαμβάνων.

237 ΦΙΛΙΣΤΙΩΝ μὴ λέγ’, ὅτι δώσεις, μὴ διδούς· ὁ γὰρ λέγων καὶ τὴν ἀπ’ ἄλλων ἐμποδίζεται δόσιν. καλῶς ποιήσας 〈κοὐ〉 καλῶς ὀνειδίσας ἔργον καθεῖλες πλούσιον πτωχῶν λόγῳ. καυχώμενος τὸ δῶρον, ὃ δέδωκας φίλῳ,

238 ΦΙΛΙΣΤΙΩΝ ἔργῳ στρατηγὸς γέγονας, ἐν λόγῳ φονεύς. ἂν γυμνὸν εὑρὼν πενιχρὸν ἐνδύσῃς 〈ποτέ, μᾶλλον ἀπέδυσασ〉 αὐτόν, ἂν ὀνειδίσῃς. ἐὰν τροφὴν δοὺς τὸν λαβόντ’ ὀνειδίσῃς, ἀψινθίῳ κατέπασας Ἀττικὸν μέλι.

### περὶ πονηρίας.

240 Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν, ἀλλ’ ἀντιτάσσου, μὴ τἄνω κάτω γένητ’.

241 ὁ γὰρ ἀδίκως 〈τι〉 καθ’ ἑτέρου ζητῶν κακὸν αὐτὸς προπάσχει τοῦ κακοῦ τὴν ἔκβασιν. ὅταν πονηροῦ πράγματος κέρδος λάβῃς,

242 τοῦ δυστυχεῖν νόμιζε ς’ ἀρραβῶν’ ἔχειν.

243 ΦΙΛΙΣΤΙΩΝ Ὅταν 〈δ’〉 ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ κακῶς τε πλούτῳ καὶ τύχῃ γαυρούμενον ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα, τούτου ταχεῖαν νέμεσιν 〈εὐθὺς προσδόκα.〉

### περὶ δούλου.

245 Δούλῳ γενομένῳ, δοῦλε, δουλεύειν φοβοῦ. ἀμνημονεῖ γὰρ ταῦρος ἀργήσας ζυγοῦ. ἐλευθέρως δούλευε· δοῦλος οὐκ ἔσῃ. ἐλεύθερος πᾶς ἑνὶ δεδούλωται, νόμῳ, δυσὶν δὲ δοῦλος, καὶ νόμῳ καὶ δεσπότῃ.

246 ΦΙΛΙΣΤΙΩΝ Πονηρὸς ἂν ᾖ δοῦλος, εὑρήσει δίκην· σὺ μὴ γενηθῇς τῆς δίκης προηγέτης. εἰς χεῖρα δοῦλον δεσπότῃ μὴ συμβάλῃς. κἂν δοῦλος ᾖ τις, σάρκα τὴν αὐτὴν ἔχει· φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτὲ

247 ΦΙΛΙΣΤΙΩΝ ἀπὸ τοῦ πάλαι πλάσαντος ἀνθρώπων γένος.

248 ΦΙΛΙΣΤΙΩΝ ἴσην δὲ πάντων διάθεσιν τοῦ σώματος ἐποίησεν οὗτος ὡς ἐλευθέρου γένους. ἐλευθέρους ἐποίησε πάντας τῇ φύσει, δοῦλον δὲ μετεποίησεν ἡ πλεονεξία.

249

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΦΙΛΙΣΤΙΩΝ † ἡ ἐξ ἀρχόντων, νόμος, φίλοι. † ἡ δ' 〈αὖ〉 τύχη τὸ σῶμα κατεδουλώσατο. 〈ἐλεύθερον〉 {δὲ} τὸ γένος ὑπάρχει τῇ φύσει.

### περὶ γειτονίας.

251 Ἐὰν πονηροῦ γείτονος γείτων τύχῃς, πάντως παθεῖν πονηρὸν ἢ μαθεῖν σε δεῖ.

252 ἐὰν 〈ποτ'〉 ἀγαθοῦ γείτονος γείτων τύχῃς, ὡς προσδιδάσκεις ἀγαθὰ καὶ προσμανθάνεις.

253 ΦΙΛΙΣΤΙΩΝ Ὡς εὐφυὲς ζῷον ὁ κοχλίας, νὴ τὸν θεόν. ὅταν πονηρῷ περιπέσῃ τῷ γείτονι, τὸν οἶκον ἄρας εἰς ἕτερον τόπον † πορεύεται.

254 ΦΙΛΙΣΤΙΩΝ 〈καὶ〉 τέρπεται δρόσοισιν· {νεμόμενος} ἀλλ' ὅταν ποτὲ δοκῇ τις αὐτῷ παρενοχλεῖν τῶν γειτόνων, ἀπέρχεθ' οὕτως περιφέρων τὴν οἰκίαν νέμετ' ἀμέριμνος τοὺς κακοὺς φεύγων ἀεί.

### περὶ νόμου.

256 Λόγος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος,

257 ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος. Νόμον φοβηθεὶς οὐ ταραχθήσει νόμῳ. μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε· πρὸ τοῦ παθεῖν σε τῷ φόβῳ προλαμβάνου.

258 ΦΙΛΙΣΤΙΩΝ Ὃ δεῖ παθεῖν σε μηδαμοῦ σκέψῃ φυγεῖν·

259 ΦΙΛΙΣΤΙΩΝ οὐ γὰρ δυνήσῃ διαφυγεῖν ὅ σε δεῖ παθεῖν· 〈τὸ〉 πεπρωμένον γὰρ οὐ μόνον 〈πᾶσιν〉 βροτοῖς ἄφευκτόν ἐστιν, ἀλλὰ καὶ τοῖς οὐρανὸν | 〈ἔχουσι〉

### Μενάνδρου παραινέσεις περὶ τοῦ

### τὸν πατέρα τιμᾶν καὶ τὴν μητέρα.

262 Ὁ λοιδορῶν 〈τὸν〉 πατέρα δυσφημεῖ λόγῳ τὴν εἰς τὸ θεῖον 〈δὲ〉 μελετᾷ βλασφημίαν.

263 ὁ μὴ τρέφων τεκοῦσαν ἐκ τέχνης νέος ἄκαρπός ἐστιν οὗτος ἀπὸ ῥίζης κλάδος.

### περὶ γέλωτος.

265 Ὁ μὴ γέλωτος ἄξιος 〈ὢν〉 ἂν ᾖ γέλως, αὐτὸς πέφυκε τοῦ γέλωτος κατάγελως. {ε}ἂν ἀγνοῶν τι παρά τινος θέλῃς μαθεῖν,

266 τὸ τοῦ μαθητοῦ πρῶτα τὴν σιγὴν ἔχειν.

267 ἅπαντα μεταμέλειαν ἀνθρώποις φέρει, μόνη σιωπὴ μεταμέλειαν οὐ φέρει. μέλλων τι πράττειν μὴ προείπῃς μηδενί· τὰ γάρ τισιν λεχθέντα καὶ μὴ γενόμενα

268 εἴωθε πλεῖστον 〈καταγέλωτα προσφέρειν.〉

### περὶ θανάτου.

270 Ὅταν εἰδέναι θέλῃς σεαυτὸν ὅστις εἶ, ἔμβλεψον εἰς τὰ μνήμαθ', ὡς ὁδοιπορεῖς. ἐνταῦθ' ἔνεστ' ὀστᾶ τε καὶ κούφη κόνις ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν

271 καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν αὑτῶν τε δόξῃ κἀπὶ κάλλει σωμάτων. κᾆτ' οὐδὲν αὐτοῖς τῶνδ' ἐπήρκεσεν χρόνος· κοινὸν τὸν Ἅιδην ἔσχον οἱ πάντες βροτοί. πρὸς ταῦθ' ὁρῶν γίνωσκε σαυτὸν ὅστις εἶ.

272 ΦΙΛΙΣΤΙΩΝ Εἴ ποτέ τις ἡμῶν εἰς τὸν ἀγρὸν ἐξιὼν μνήματα παρέλθοι καὶ τάφους ἀνθρωπίνους, τούτων ἕκαστος ἔλεγεν· „εἰς ὥρας ἐγὼ πλεύσω, φυτεύσω, κτήσομαι 〈πολλοὺς ἀγρούσ〉, τὸν τοῖχον ἄρας πύργον ὑψηλὸν βαλῶ,

273 ΦΙΛΙΣΤΙΩΝ προσοικοδομήσω τὰ παρακείμεν' ἀγοράσων.“

274 ΦΙΛΙΣΤΙΩΝ λογιζόμενος ταῦτ' ἀπέθανεν μηδὲν τελῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

## περὶ λόγου.

276 Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος· ψυχῆς γὰρ οὗτος μόνος ἔχει κουφίσματα· λέγουσι δ’ αὐτὸν οἱ πάλαι σοφώτατοι

277 ἀστεῖον εἶναι φάρμακον ⟨λυπουμένῳ⟩. † ἀλλ’ ὅταν κἀγὼ παραλημφθῶ εἰς λύπας ποτέ †, ὅταν δέ τις λόγοις με παραμυθήσεται, λόγοις με πείσας ἔσβεσεν λύπην ἐμήν.

278 ΦΙΛΙΣΤΙΩΝ Ἆρ’ ἔστι τοῖς νοσοῦσι χρήσιμος λόγος.

279 ΦΙΛΙΣΤΙΩΝ ὡς σπληνίον πρὸς ἕλκος οἰκείως τεθὲν τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος εὔκαιρος εἰς τὰ σπλάγχνα κολληθεὶς φίλων εὐψυχίαν παρέσχε τῷ λυπουμένῳ. ψυχῆς πόνος γὰρ ὑπὸ λόγου κουφίζεται.

## περὶ λύπης.

281 Ἄνθρωπε, μὴ στέναζε, μὴ λυποῦ μάτην. μηδέποτε λύπῃ τεῖρε σὴν ψυχὴν κακῶς καταμεμφόμενος ⟨τὰ τῆς τύχησ⟩, φάσκων τάδε·

282 „ἀπώλεσα πάνθ’ † ὅσον ἐκεκτήμην βίον †, χρήματα, γυναῖκα καὶ τέκνων πολλῶν σποράν.“

283 ἅ σοι τύχη κέχρηκε, ταῦτ’ ἀφείλετο. ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν αἰτοῦ παρὰ θεῶν, ἀλλὰ ⟨τὴν⟩ μακροθυμίαν. ὅταν δ’ ἄλυπος διὰ τέλους εἶναι θέλῃς, ἢ δεῖ θεόν ς’ εἶναί τιν’ ἢ τάχα δὴ νεκρόν.

284 παρηγόρει δὲ τὰ κακὰ δι’ ἑτέρων κακῶν.

285 ΦΙΛΙΣΤΙΩΝ Ὅταν ξενισθῇς ἐν πόλει πρὸς τῶν φίλων ἐν ταῖς περισσαῖς καὶ πυκναῖς ὁμιλίαις, ἐὰν μεγίστην ὁ φίλος ἣν λέγῃ πόλιν, σὺ τὴν ἑαυτοῦ μηδὲ συγκρίνῃς ποτέ·

286 ΦΙΛΙΣΤΙΩΝ ἐχθροὺς ποιοῦσι τοὺς φίλους αἱ συγκρίσεις.

287 ΜΕΝΑΝΔΡΟΣ † Γυναῖχ’ ὁ διδάσκων γράμματα καλῶς ἀσπίδι φοβερᾷ προσπορίζει φάρμακον. †

288 ΦΙΛΙΣΤΙΩΝ Ἐὰν γυνὴ γυναικὶ κατ’ ἰδίαν λαλῇ, μεγάλων κακῶν θησαυρὸς ἐξορύσσεται.

289 ΜΕΝΑΝΔΡΟΣ Καλὴν γυναῖκ’ ἐὰν ἴδῃς, μὴ θαυμάσῃς· τὸ γὰρ πολὺ κάλλος καὶ ψόγων πολλῶν γέμει.

290 ΦΙΛΙΣΤΙΩΝ Πιθανὴν γυναῖκα ⟨δ’⟩ ὁ τρόπος εὔμορφον ποιεῖ, πολὺ ⟨γὰρ⟩ διαφέρει σεμνότης εὐμορφίας.

291 ΜΕΝΑΝΔΡΟΣ Γνώμην κακίστην ⟨τῇ⟩ γυναικὶ μὴ λέγε·

292 ΜΕΝΑΝΔΡΟΣ γνώμῃ γὰρ ἰδίᾳ τὸ κακὸν ἡδέως ποιεῖ.

293 ΦΙΛΙΣΤΙΩΝ Γνώμην πονηρὰν τῇ γυναικὶ μὴ δίδου· ἐλαφρὸν γένος γάρ ἐστι καὶ λίαν κακόν.

294 ΜΕΝΑΝΔΡΟΣ Μὴ κλαῖε τοὺς θανόντας· οὐ γὰρ ὠφελεῖ

295 ΜΕΝΑΝΔΡΟΣ τὰ δάκρυ’ ἀναισθήτῳ γεγονότι καὶ νεκρῷ.

296 ΦΙΛΙΣΤΙΩΝ Ὅταν τάφον † στεφανοῖς † κόσμῳ ποικίλῳ, τὸ ζῆν τὸ σαυτοῦ † στεφάνοις παρηγορεῖ.

297 ΜΕΝΑΝΔΡΟΣ Τί τῷ θανόντι δῶρα λαμπρὰ προσφέρεις, ἃ μετ’ ὀδύνης εἴασε κοὐκ ἐχρήσατο;

298 ΦΙΛΙΣΤΙΩΝ Ζῶν γὰρ σεαυτῷ στέφανον ἀσκοῦ καὶ μύρα·

299 ΦΙΛΙΣΤΙΩΝ χρήσῃ γὰρ αὐτοῖς αἰσθόμενος μεθ’ ἡδονῆς.

300 ΜΕΝΑΝΔΡΟΣ Κἂν μυρίων γῆς κυριεύσῃς πήχεων, θανὼν γενήσῃ τάχα τριῶν ἢ τεσσάρων.

301 ΦΙΛΙΣΤΙΩΝ Κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς, ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.

302 ΜΕΝΑΝΔΡΟΣ Πράττων καλῶς μέμνησο τῆς δυσπραξίας· ὡς γὰρ τὸ πράττειν καὶ τὸ δυσπράττειν σκόπει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

303 ΦΙΛΙΣΤΙΩΝ Μὴ λέγε φυγὼν 〈τὸν〉 θάνατον ὅτι φεύξει πάλιν. ὡς γὰρ πέφευγας, προσδόκα καὶ μὴ φυγεῖν.

304 ΜΕΝΑΝΔΡΟΣ Εἰ γάμος † ἦν ὁ σῴζων † τὴν ἄλλου νόσον,

305 ΜΕΝΑΝΔΡΟΣ νοσοῦντα σῴζων αὐτὸς ἀποθνῄσκει νοσῶν.

306 ΦΙΛΙΣΤΙΩΝ † Ἐπὰν ἐγγὺς θάνατος ἔλθῃ, οὐδεὶς ἑαυτῷ ὃ θέλει

307 ΦΙΛΙΣΤΙΩΝ βουλεύεται. † θνῄσκει ὁ θνῄσκων κατ’ ἰδίαν εἱμαρμένην.

308 ΜΕΝΑΝΔΡΟΣ Ἐὰν τροφὴν δοὺς τὸν λαβόντ’ ὀνειδίσῃς, ἀψινθίῳ κατέπασας Ἀττικὸν μέλι.

309 ΦΙΛΙΣΤΙΩΝ Ἐὰν ὁρῶν πένητα γυμνὸν † ἐνδύσῃς †, μᾶλλον ἀπέδυσας αὐτόν, ἂν ὀνειδίσῃς.

310 ΜΕΝΑΝΔΡΟΣ Ἐὰν ἐκ μεταβολῆς ἐπὶ κρεῖττον γένῃ, ὅτ’ εὐτυχεῖς, μέμνησο τῆς προτέρας τύχης.

311 ΦΙΛΙΣΤΙΩΝ Μὴ λέγε τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ.

312 ΦΙΛΙΣΤΙΩΝ πρὸς τὴν παροῦσαν πάντοθ’ ἁρμόζου τύχην.

313 ΜΕΝΑΝΔΡΟΣ Ὅταν τι μέλλῃς τὸν πέλας κατηγορεῖν, αὐτὸς τὰ σαυτοῦ πρῶτ’ ἐπισκέπτου κακά.

314 ΦΙΛΙΣΤΙΩΝ Ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν πεσεῖν δεδοικὼς βούλεται πάλιν πεσεῖν.

315 ΜΕΝΑΝΔΡΟΣ Μηδέποτε πειρῶ στρεβλὸν ὀρθῶσαι κλάδον, ἐκεῖ νένευκεν οὗ φύσις βιάζεται.

316 ΦΙΛΙΣΤΙΩΝ Ὁ γῆρας αἰτῶν παρὰ θεῶν ἁμαρτάνει·

317 ΦΙΛΙΣΤΙΩΝ τὸ γὰρ πολὺ γῆρας ἐσχάτων πόνων γέμει.

318 ΜΕΝΑΝΔΡΟΣ Μάτην 〈ἄρ’〉 οἱ γέροντες εὔχονται θανεῖν,

319 ΜΕΝΑΝΔΡΟΣ γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου.

320 ΦΙΛΙΣΤΙΩΝ Γέρων γενόμενος μὴ φρόνει νεώτερα, μηδ’ εἰς ὄνειδος ἕλκε τὴν σεμνὴν πολιάν.

321 ΜΕΝΑΝΔΡΟΣ Ὅταν γέρων γέροντι γνώμην μεταδιδοῖ, θησαυρὸς ἐπὶ θησαυρὸν ἐκπορίζεται.

322 ΦΙΛΙΣΤΙΩΝ Οὐχ ἡ πόλις σου τὸ γένος εὐγενὲς ποιεῖ, σὺ δ’ εὐγενίζεις τὴν πόλιν πράσσων καλῶς.

323 ΜΕΝΑΝΔΡΟΣ {ε} Ἂν καλὸν ἔχῃ τις σῶμα καὶ ψυχὴν κακήν, καλὴν ἔχει ναῦν καὶ κυβερνήτην κακόν.

324 ΦΙΛΙΣΤΙΩΝ Χρυσὸς μὲν † διελέγχεται πυρί †,

325 ΦΙΛΙΣΤΙΩΝ αἱ τῶν φίλων γνῶμαι χρόνῳ γινώσκονται.

326 ΦΙΛΙΣΤΙΩΝ Σαίνει κύων τὸν δόντα, κἂν ἅπαξ λάβῃ·

327 ΦΙΛΙΣΤΙΩΝ ἄνθρωπος ἀδικεῖ καὶ λαβὼν καὶ μὴ λαβών.

## ΓΝΩΜΑΙ

## ΜΕΝΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΣΤΙΩΝΟΣ

330 ΜΕΝΑΝΔΡΟΣ Πολλῶν ὁ καιρὸς γίνεται παραίτιος· ἂν γὰρ μέγιστα κομπάσῃς φρονῶν μέγα, οὐκ οἶδας ὡς 〈τὰσ〉 μεταβολὰς πολλὰς ἔχει· ὃ νῦν δίδωσιν, οὐ δίδωσιν αὔριον.

331 ΜΕΝΑΝΔΡΟΣ χρόνος γὰρ οὐκ ἔσθ’ αὐτὸς ἀνθρώποις ἀεί. τὸν οὖν παρόντα καιρὸν ἂν ἅπαξ ἀφῇς, οὐκ ἔστιν αὐτὸν προσλαβεῖν πάλιν ταχύ.

332 ΦΙΛΙΣΤΙΩΝ Ἐπάν ς’ ὁ καιρὸς ἐμβάλῃ πολλοῖς κακοῖς, μὴ † ἐκκακίσῃς † πάντα εὐθύμως φέρειν·

333 ΦΙΛΙΣΤΙΩΝ πάλιν γὰρ ὄψει τῶν κακῶν περιτροπήν. ἀεὶ γὰρ ὁ χρόνος ὡς τροχὸς κυλίεται. 〈ὁ〉 καιρὸς ὁ τυχών ἐστιν ἀνθρώποις ἀεί, πᾶσιν γὰρ οὐ πέφυκεν ἀνθρώποις ἴσος. κέρδη γὰρ ἄλλοις χήδονὰς θηρεύεται,

334 ΦΙΛΙΣΤΙΩΝ ἄλλοις δὲ λύπας προσπορίζει καὶ βλάβας.

335

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΦΙΛΙΣΤΙΩΝ Μίαν πρόνοιαν τῶν ἄνω καὶ τῶν κάτω θεὸν νόμιζε καὶ σέβου παντὶ σθένει· ὡς ὄντα τοῦτον καὶ παρόντ’ ἀεὶ σέβου. καὶ μήτ’ ἐρώτα μήτε μανθάνειν θέλε·

336 ΦΙΛΙΣΤΙΩΝ οὐ γὰρ θέλω σε μανθάνειν, τί δὴ θεός.

337 ΜΕΝΑΝΔΡΟΣ Λόγος κατάγει 〈μὲν〉 Ταρτάρου κατώτερον, λόγος δὲ αὖθις εἰς † ὕψος † ψυχὴν ἄγει.

338 ΜΕΝΑΝΔΡΟΣ Ὁ πονηρὰ ποιῶν εὐθέως οὐκ αἴσθεται· τότ’ οἶδεν ὃ πεποίηκεν, ὅτε κολάζεται.

339 ΦΙΛΙΣΤΙΩΝ Ὁ δυσσεβῶν τι καὶ δοκῶν λαθεῖν θεόν, κολάζεθ’ οὗτος ὑπὸ συνειδότος θεοῦ.

340 ΜΕΝΑΝΔΡΟΣ Ὁ μὴ κολασθεὶς τῷ νόμῳ πράξας κακῶς, αὐτὸς ὑφ’ ἑαυτοῦ τῷ φόβῳ κολάζεται.

341 ΦΙΛΙΣΤΙΩΝ Εὐσχημονεῖν φρόντιζε, μὴ τῷ σχήματι

342 ΦΙΛΙΣΤΙΩΝ τὸ σῶμα κοσμῶν, ἀλλὰ τῷ φρονήματι.

343 ΜΕΝΑΝΔΡΟΣ Μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε· πρὸ τοῦ παθεῖν σε τῷ φόβῳ προλαμβάνου.

344 ΦΙΛΙΣΤΙΩΝ Λόγος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος, ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.

345 ΜΕΝΑΝΔΡΟΣ Πόντου, γυναικός, καύματος, θηρός, πυρὸς

346 ΜΕΝΑΝΔΡΟΣ χειρότερός ἐστιν ὁ προδότης τῶν † φίλων.

347 ΦΙΛΙΣΤΙΩΝ Ἂν μὴ † δυνάμενος ἔθελον † δὲ βλάψῃς φίλον, καὶ μὴ δυνάμενος καὶ θέλων πείσῃ κακά.

348 ΜΕΝΑΝΔΡΟΣ Ὁ μὴ δικαίως κατὰ φίλων ζητῶν κακὸν

349 ΜΕΝΑΝΔΡΟΣ αὐτὸς προπάσχει τοῦ κακοῦ τὴν ἔκβασιν.

350 ΦΙΛΙΣΤΙΩΝ Ἄνθρωπος ὢν μηδέποτε καθ’ ἑτέρου κακὸν ἀδίκως φρονήσῃς· ἡ Δίκη γὰρ πάνθ’ ὁρᾷ.

351 ΜΕΝΑΝΔΡΟΣ Ἐὰν πονηροῦ γείτονος γείτων τύχῃς, πάντως παθεῖν πονηρὸν ἢ μαθεῖν σε δεῖ.

352 ΦΙΛΙΣΤΙΩΝ Ἐάν ποτ’ ἀγαθοῦ γείτονος γείτων τύχῃς, ὡς προσδιδάσκεις ἀγαθὰ καὶ προσμανθάνεις.

353 ΜΕΝΑΝΔΡΟΣ Αὐτὸς ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν θέλε· μέμψῃ γὰρ ἄλλους, οὐχὶ μεμφθήσῃ δὲ σύ.

354 ΦΙΛΙΣΤΙΩΝ Δίκην φυλάσσου, κἂν δικαίως ἐγκαλῇ·

355 ΦΙΛΙΣΤΙΩΝ μετέρχεται τὸ δίκαιον ἐς πλεονεξίαν.

356 ΜΕΝΑΝΔΡΟΣ Ἐὰν πένης ᾖς, εἶ δίκαιος κἀγαθός· εἰ μὴ γὰρ ᾖς δίκαιος, οὐκ ἂν ᾖς πένης.

357 ΦΙΛΙΣΤΙΩΝ Πενία καθ’ αὑτήν ἐστιν ἰσχυρὰ νόσος·

358 ΦΙΛΙΣΤΙΩΝ ἔρωτα προσλαβοῦσα δύο νόσους νοσεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org